www.tezaurliturgic.ro



# ΜΗΝ ΟΚΤΩΒΡΙΟΣ

## ΚΥΡΙΑΚΗ Α΄

## Μνήμη πάντων τῶν ἐν Κύπρῳ διαλαμψάντων Ἁγίων

ΕΝ ΤΩι ΜΙΚΡΩι ΕΣΠΕΡΙΝΩι

Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους δ΄, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια

Ἦχος β΄ Ὅτε, ἐκ τοῦ ξύλου σε νεκρόν.

Δεῦτε, τῶν Κυπρίων οἱ χοροί, τοὺς ἐν νήσῳ Κύπρῳ Ἁγίους, ἀνευφημήσωμεν, ἀποστόλους, μάρτυρας, καὶ ἱεράρχας ὁμοῦ, πολυάριθμον σύστημα, ὁσίων πατέρων, τοὺς Χριστὸν δοξάσαντας, ἐν διαφόροις καιροῖς, ἅμα τοὺς γνωστοὺς ὁμοφρόνως καὶ τοὺς ἀνωνύμους συμφώνως, τοὺς τὴν Κύπρον πᾶσαν ἁγιάσαντας.

Χαίροις, ἀποστόλων ὁ χορός, καὶ τῶν εὐκλεῶν ἀθλοφόρων, τὸ θεῖον σύστημα, ἱεράρχαι πάνσοφοι, καὶ τῶν ὁσίων πληθύς, οἱ τῆς Κύπρου λαμπρύναντες, πόλεις καὶ χωρία, ἀρετῶν λαμπρότητι, καὶ θείοις θαύμασι· τύποι γὰρ ζωῆς ἐναρέτου, καὶ πιστῶν λαμπροὶ ποδηγέται, διαφόροις ἔτεσιν ὤφθητε.

Ἄστρα, Ἐκκλησίας παμφαῆ, καὶ τῆς εὐσεβείας φωστῆρες, περιφανέστατοι, οἱ ἐν Κύπρῳ ἅπαντες, Ἅγιοι ὤφθητε, τοὺς πιστοὺς κατευθύνοντες, λόγῳ τε καὶ ἔργῳ, πρὸς τὸ θεῖον θέλημα, τοῦ Παντοκράτορος· ὅθεν ὑμᾶς ἅμα τιμῶμεν, ἐν μιᾷ ἡμέρᾳ συμφώνως, ὡς ἡμῶν μεσίτας πρὸς τὸν Κύριον.

Πόνοις, καὶ ἀγῶσιν ἱεροῖς, ἅπασαν τὴν χθόνα τῆς Κύπρου, καθηγιάσατε, μάρτυρες πολύαθλοι, καὶ ἱεράρχαι σοφοί, καὶ ὁσίων συστήματα, φωτὸς θείου σκεύη, καὶ τοῦ θείου Πνεύματος, ἐνδιαιτήματα· ὅθεν ἐν κοινοῖς ὑμᾶς ὕμνοις, ἅπαντας ὁμοῦ εὐφημοῦμεν, ἐν μιᾷ ἡμέρᾳ εὐφραινόμενοι.

Δόξα... Ἦχος α΄

Τὸν πολυάριθμον τῶν Ἁγίων δῆμον, τοὺς ἐν Κύπρῳ διαλάμψαντας, πολυειδῶς καὶ πολυτρόπως δι᾿ ἀρετῆς, ὡς παντοδαποὺς ἡμῶν εὐεργέτας, πάντες οἱ Κύπριοι εὐφημήσωμεν· οἱ μὲν γὰρ δι᾿ ἀθλήσεως, οἱ δὲ δι᾿ ἀσκητικῶν καμάτων, τῆς εὐσεβείας τοὺς καρποὺς ἐγεώργησαν, δι᾿ ὧν καὶ διατρέφουσι, πᾶσαν ψυχὴν Θεὸν ποθοῦσαν καὶ πεινῶσαν, κατὰ τὸν θεῖον λόγον· καὶ νῦν ἀγγέλοις συνόντες, ἀπαύστως πρεσβεύουσιν, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν... Θεοτοκίον

Ἁμαρτωλῶν τὰς δεήσεις προσδεχομένη, καὶ θλιβομένων στεναγμὸν μὴ παρορῶσα, πρέ-

www.tezaurliturgic.ro



σβευε Τῷ ἐξ ἁγνῶν λαγόνων σου, σωθῆναι ἡμᾶς, Παναγία Παρθένε.

Εἰς τὸν Στίχον

Στιχηρὰ Προσόμοια

Ἦχος β΄ Οἶκος τοῦ Ἐφραθᾶ.

Ὅμιλον ἱερόν, Ἁγίων θεοφόρων, τῆς Κύπρου τοὺς φωστῆρας, τῶν εὐσεβῶν χορεῖαι, συμφώνως ἀνυμνήσωμεν.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Μάρτυρες θαυμαστοί, σὺν θείοις ἱεράρχαις, καὶ ὅσιοι πατέρες, τῆς Κύπρου πολιοῦχοι, ἡμῶν τὸν ὕμνον δέξασθε.

Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Σήμερον ἱερῶς, ἀγάλλεται ἡ Κύπρος, ὑμᾶς ἀνευφημοῦσα, γνωστῶν καὶ ἀνωνύμων, Ἁγίων θεῖον σύστημα.

Δόξα... Τριαδικὸν

Δύναμιν παρὰ σοῦ, Τρισήλιε Θεότης, λαμβάνοντες ἀΰλως, οἱ Ἅγιοι ἐν Κύπρῳ, ἐδόξασαν τὸ κράτος σου.

Καὶ νῦν... Θεοτοκίον

Δῆμος περιφανής, Ἁγίων τῶν ἐν Κύπρῳ, Παρθένε Θεοτόκε, κηρύττει σου τὴν χάριν, τὸν σὸν Υἱὸν δοξάζοντες.

Ἀπολυτίκιον

Τὸ Ἀναστάσιμον τοῦ τυχόντος Ἤχου

Δόξα... Ἦχος α΄ Τῆς ἐρήμου πολίτης.

Τοὺς ἐν Κύπρῳ Ἁγίους, ἀποστόλους καὶ μάρτυρας, καὶ σὺν ἱεράρχαις ὁσίους, κατὰ χρέος οἱ Κύπριοι, χορείαν συγκροτήσαντες καινήν, τιμήσωμεν ᾠδαῖς πνευματικαῖς, ὡς τῆς Νήσου καλλωπίσματα εὐκλεῆ, καὶ ἀρωγοὺς κραυγάζοντες· Δόξα τῷ ἐνισχύσαντι ὑμᾶς· δόξα τῷ στεφανώσαντι· δόξα τῷ χορηγοῦντι δι᾽ ὑμῶν, ἡμῖν θεῖα δωρήματα.

Καὶ νῦν... Θεοτοκίον

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ Χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο, ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ Κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαυΐδ· ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί· δόξα τῷ προελθόντι ἐκ σοῦ· δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διὰ τοῦ Τόκου σου.

Καὶ Ἀπόλυσις

## ΕΝ ΤΩι ΜΕΓΑΛΩι ΕΣΠΕΡΙΝΩι

Τῷ Σαββάτῳ ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Μακάριος ἀνήρ, εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους ι΄, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια· Ἀναστάσιμα ς΄ καὶ τῶν Ἁγίων δ΄

Ἦχος α΄ Τῶν οὐρανίων ταγμάτων.

Ἡ νῆσος Κύπρος εὐφραίνου, ὡς κοσμουμένη φαιδρῶς, θεοειδεῖ χορείᾳ θεοφόρων Ἁγίων, μαρτύρων, ἀποστόλων, ἱεραρχῶν, καὶ ὁσίων ἐν Πνεύματι, καὶ τὰς αὐτῶν νῦν ἀνύμνησον ἀρετάς, δι᾽ ὧν φίλοι Θεοῦ ὤφθησαν.

Ὥσπερ πολύφωτα ἄστρα, βίου λαμπρότητι, ἐν πόλεσι καὶ κώμαις, καὶ χωρίοις τῆς Κύπρου, ἐκλάμπουσιν ἀδύτως, οἱ ἐν αὐτῇ, ἱερῶς διαπρέψαντες, ἐν διαφόροις τοῖς χρόνοις πολυειδῶς, καὶ Θεῷ εὐαρεστήσαντες.

Τὸν θεηγόρον Βαρνάβαν, σὺν Μάρκῳ τῷ εὐκλεεῖ, Σπυρίδωνα τὸν μέγαν, Ἐπιφάνιον ἅμα, Λάζαρον τὸν φίλον, τοῦ Ἰησοῦ, καὶ Νεόφυτον ἔγκλειστον, σὺν Ἡρακλείδει τιμήσωμεν τῷ κλεινῷ, τὰ τῆς Κύπρου καλλωπίσματα.

Ὁ Ἰωάννης ὁ μέγας, ὁ τοῦ ἐλέους κρουνός, Μακάριος ὁ Πάφου, καὶ Πανάρετος ἅμα, Τύχων Ἀμαθοῦντος ὁ ὁδηγός, καὶ Θεράπων καὶ Μάρκελλος, οἷα φωστῆρες τῆς Κύπρου θεοφεγγεῖς, ὁμοφρόνως ἐπαινέσθωσαν.

Δόξα... Ἦχος πλ. α΄

Σήμερον εἰς ἓν συνέλθωμεν, τὰ τῶν Κυπρίων συστήματα, καὶ πνευματικῶς πανηγυρίσωμεν· ἡμέρα γὰρ ἑόρτιος ἡμῖν ἐπέστη, τοὺς ἐν τῇ Νήσῳ ταύτῃ πάλαι τε καὶ νῦν, θεοφιλεῖ πολιτείᾳ, καὶ ποικίλοις εὐσεβείας τρόποις, Θεῷ εὐαρεστήσαντας, εἰς ἓν συνάπτουσα· οἷς ὁμοφρόνως βοήσωμεν· Χαίρετε ἀπόστολοι ἔνδοξοι, οἱ τὴν Κυπρίαν χθόνα, θεογνω-

www.tezaurliturgic.ro



σίας λόγοις κατανεώσαντες· χαίρετε ἱεράρχαι σοφοί, σὺν ἀθληταῖς καὶ ὁσίοις, οἱ πολλαχῶς ἡμᾶς εὐεργετήσαντες· χαίρετε τῆς Ἐκκλησίας θεμέλιοι, τῆς εὐσεβείας φωστῆρες, καὶ τῆς περιφήμου Κύπρου, περιφανῆ κλεΐσματα· ἣν περιέπετε ἀπαύστως, ταῖς πρὸς Θεὸν ὑμῶν παρακλήσεσι.

Καὶ νῦν... Θεοτοκίον τοῦ τυχόντος Ἤχου

Εἴσοδος. Φῶς ἱλαρόν. Τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα

### Προφητείας Ἠσαΐου τὸ Ἀνάγνωσμα

(Κεφ. μγ΄ 9-14)

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ἡμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν. Καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός, καὶ ὁ παῖς, ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός· ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ ἅγιος τοῦ Ἰσραήλ.

### Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα

(Κεφ. γ΄ 1-9)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι. Καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα, οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

### Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα

(Κεφ. ε΄ 15–ς΄ 3)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν.

Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Εἰς τὴν Λιτὴν

Στιχηρὰ Ἰδιόμελα

Ἦχος α΄

Εὐφραίνου ἐν Κυρίῳ ἡ μεγαλόνησος Κύπρος, ἡ χορείαν πολυπληθῆ Ἁγίων τῷ Θεῷ ἀναδείξασα· ἀποστόλους γὰρ καὶ μάρτυρας, ἱεράρχας καὶ ὁσίους, ὥσπερ μήτηρ καλλίτεκνος, θεοφιλῶς ἐτιθηνήσω, καὶ τούτους εὐσεβείας τοῖς δόγμασι, καὶ ἀθλητικαῖς ἀριστείαις, ἄνδρας τελείους παρέστησας, τῆς ἐν Χριστῷ τελειότητος· ὧν τοῖς ἀγῶσι λαμπρυνομένη, σύμφωνον αὐτοῖς τὸν ὕμνον, ἐν ἐτησίῳ πανηγύρει, προσάγαγε βοῶσα· Κύριε, πρεσβείαις τῶν σῶν θεραπόντων, παράσχου τῷ λαῷ σου εἰρήνην ἀδιάπτωτον, καὶ τὸ μέγα ἔλεος.

Ἦχος β΄

Παρεμβολὴ Ἁγίων θεοσύλλεκτε, τέκνα Θεοῦ ἀμώμητα, οἱ τὴν Κύπρον πᾶσαν ἁγιάσαντες, καὶ τὸν Χριστὸν δοξάσαντες, ὑμεῖς ἐν διαφόροις καιροῖς ἀκμάσαντες, ἐπὶ μίαν χορείαν συνήφθητε, ὡς ἀδελ-

www.tezaurliturgic.ro



φοὶ τῷ πνεύματι· τὸν Θεὸν γὰρ ὁλοψύχως ἀγαπήσαντες, ἑαυτοὺς τελείως ἠρνήσασθε. Καὶ οἱ μὲν ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, τὸν βίον ἐκοσμήσατε· οἱ δέ, μαρτυρικοῖς παλαίσμασι καὶ εὐσεβείας στερρότητι, τὰς ἀντικειμένας ἀρχὰς ἐτροπώσασθε. Καὶ νῦν τοῖς ἀσωμάτοις συνόντες δήμοις, ἀπαύστως πρεσβεύετε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος γ΄

Ὑποφῆτα τῆς χάριτος, Βαρνάβα θεόσοφε, Χριστοκῆρυξ ἔνδοξε, ὁ τὸν λόγον τῆς πίστεως, γεωργήσας ἐν Κύπρῳ, τέρπου καὶ χόρευε· πολυπλάσιον καρπὸν γὰρ ἀπέδωκε, τοὺς νῦν παρ᾽ ἡμῶν ἐν μιᾷ ὁμηγύρει τιμωμένους, ἱεράρχας καὶ μάρτυρας καὶ ὁσίων τὸ σύστημα, τοὺς ἐν ἀρετῶν ποικιλίᾳ, καὶ δογμάτων ὀρθότητι, καὶ θαυμάτων χαρίσμασι, τήνδε τὴν Νῆσον λαμπρύναντας. Αὐτῶν ταῖς ἱκεσίαις Χριστέ, τὴν Ἐκκλησίαν σου φύλαττε ἀσινῆ καὶ ἀπήμαντον, ἐκ πάσης ἐναντιότητος.

Δόξα... Ἦχος δ΄

Τὴν θεοπρεπῆ πανήγυριν τῶν ἐν Κύπρῳ Ἁγίων, τὰ τῶν Κυπρίων συστήματα, χαρμονικῶς τελέσωμεν· χαρᾶς γὰρ πρόξενοι ἡμῖν, καὶ σωτηρίας ἀσφαλοῦς, οἷα θεράποντες Θεοῦ, καὶ ἀρετῶν ἐκφάντορες ὤφθησαν· εὐσεβείας γὰρ ταῖς πράξεσι, πολυειδῶς καὶ πολυτρόπως διαπρέψαντες, ποικίλων χαρίτων ταμεῖα, καὶ θησαυροὶ θεουργικῶν δωρημάτων ἀληθῶς ἀνεδείχθησαν. Ὅθεν σωμάτων μὲν ἰῶνται τὰ νοσήματα, τὰς δὲ ψυχὰς ἡμῶν ἰθύνουσι, πρὸς θεῖον ἔρωτα, καὶ ἀνάβασιν κρείττονα, καὶ πρεσβεύουσιν ἀπαύστως, τῷ ἐν Τριάδι Θεῷ, δωρηθῆναι τῷ κόσμῳ εἰρήνην, καὶ ἡμῖν χάριν καὶ ἔλεος.

Καὶ νῦν... Θεοτοκίον

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου, φύλαττε εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν Στίχον

Στιχηρὰ Προσόμοια

Τὸ α΄ Ἀναστάσιμον τοῦ τυχόντος Ἤχου

Ἦχος πλ. α΄ Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίροις Ἁγίων Κύπρου πληθύς, οἱ διαφόροις διαλάμψαντες ἔτεσι, φρονήματι στερροτάτῳ, καὶ ἀκλινεῖ λογισμῷ, τοῖς τῆς εὐσεβείας κατορθώμασιν· οἱ μὲν δι᾽ ἀθλήσεως, τὸν Χριστὸν μεγαλύναντες, οἱ δὲ ἐν πόνοις, ἐναρέτοις ἀσκήσεως, τὴν ἀπάθειαν, ἱερῶς στολισάμενοι· χαίρετε ἱερώτατοι, ποιμένες θεόφρονες, ἱεραρχῶν αἱ εἰκόνες, τῆς νήσου Κύπρου κοσμήτορες, Χριστὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Χαίροις Ἁγίων Κύπρου πληθύς, θεοειδέστατοι ἀπόστολοι πάνσοφοι, Βαρνάβας ὁ θεηγόρος, σὺν Μάρκῳ τῷ εὐκλεεῖ, καὶ Ἀριστοβούλῳ τῷ θεόφρονι· ἀήττητοι μάρτυρες, Ἀθανάσιε ἔνδοξε, σὺν Ἡρακλείδει, Μνάσων ἅμα καὶ Μάρκελλε, καὶ Θεόδοτε, καὶ Θεράπων σὺν Μύρωνι. Χαίρετε νεομάρτυρες, τρισμάκαρ Πολύδωρε, σὺν τῷ στερρῷ Γεωργίῳ, τῆς νήσου Κύπρου οἱ ἔφοροι, Χριστὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Χαίροις Ἁγίων Κύπρου πληθύς, ἱεραρχῶν ἡ θεοφόρος συνέλευσις, Αὐξίβιε σὺν Λαζάρῳ, καὶ Ἰωάννη ὁμοῦ, ἐλεημοσύνης ὁ ἐπώνυμος· σοφὲ Ἐπιφάνιε, καὶ Σπυρίδων πολύδοξε, σὺν Γρηγορίῳ, Νέστορ, ἅμα Λεόντιε καὶ Πανάρετε, σὺν Τριφυλλίῳ καὶ Τύχωνι. Χαίρετε ὁσιώτατοι, Νεόφυτε ἔγκλειστε, σὺν Διομήδει τῷ θείῳ, τῆς νήσου Κύπρου γεννήματα, Χριστὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Δόξα... Ἦχος πλ. β΄

Διελθόντες νομίμως, καιροῖς ἰδίοις, τῆς ἐν Χριστῷ ζωῆς τὸ στάδιον, πάντες οἱ ἐν Κύπρῳ Ἅγιοι, ἰδίῳ τέλει ἕκαστος, πρὸς Χριστὸν ἐξεδήμησε· καὶ νῦν ἅπαντες ὁμοῦ, ἐν τῇ θαυμαστῇ σκηνῇ τῆς θείας δόξης, ἐν τῇ ἄνω Σιών, τὰς ἀμοιβὰς τῶν καμάτων καὶ ἐπάθλων τὰς δωρεάς, κατὰ τὸ μέτρον τῆς ἀξίας ἐκληρώσαντο. Χορεία τετρασύνθετε, ἡ ἐξ ἀποστόλων καὶ μαρτύρων, ἱεραρχῶν καὶ ὁσίων συγκροτουμένη, μὴ παύσησθε δυσωποῦντες, ὑπὲρ ταύτης τῆς Νήσου, σὺν παντὶ τῷ κόσμῳ, τῆς χαρμοσύνως τελούσης ὑμῶν τὴν πανήγυριν.

Καὶ νῦν... Θεοτοκίον

Ὁ ποιητὴς καὶ λυτρωτής μου, Πάναγνε, Χριστὸς ὁ Κύριος, ἐκ τῆς σῆς νηδύος προελθών, ἐμὲ ἐνδυσάμενος, τῆς πρώην κατάρας, τὸν Ἀδὰμ ἠλευ-

www.tezaurliturgic.ro



θέρωσε· διό σοι, Πάναγνε, ὡς τοῦ Θεοῦ Μητρί τε, καὶ Παρθένῳ ἀληθῶς, βοῶμεν ἀσιγήτως τὸ Χαῖρε τοῦ Ἀγγέλου· Χαῖρε, Δέσποινα, προστασία καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Ἀπολυτίκιον

Τὸ Ἀναστάσιμον τοῦ τυχόντος Ἦχου

Δόξα... Ἦχος α΄ Τῆς ἐρήμου πολίτης.

Τοὺς ἐν Κύπρῳ Ἁγίους, ἀποστόλους καὶ μάρτυρας, καὶ σὺν ἱεράρχαις ὁσίους, κατὰ χρέος οἱ Κύπριοι, χορείαν συγκροτήσαντες καινήν, τιμήσωμεν ᾠδαῖς πνευματικαῖς, ὡς τῆς Νήσου καλλωπίσματα εὐκλεῆ, καὶ ἀρωγοὺς κραυγάζοντες· Δόξα τῷ ἐνισχύσαντι ὑμᾶς· δόξα τῷ στεφανώσαντι· δόξα τῷ χορηγοῦντι δι' ὑμῶν, ἡμῖν θεῖα δωρήματα.

Καὶ νῦν... Θεοτοκίον

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ Χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο, ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ Κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαυΐδ· ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί· δόξα τῷ προελθόντι ἐκ σοῦ· δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διὰ τοῦ Τόκου σου.

Καὶ Ἀπόλυσις

## ΕΝ ΤΩι ΜΕΣΟΝΥΚΤΙΚΩι

Μετὰ τὸν Ν΄ Ψαλμὸν ὁ Τριαδικὸς Κανὼν καὶ ἡ Λιτὴ τῶν Ἁγίων. Τὰ Τριαδικά, Ἄξιόν ἐστιν, εἶτα τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον τῶν Ἁγίων.

## ΕΝ ΤΩι ΟΡΘΡΩι

Ἑξάψαλμος, Θεὸς Κύριος, τὸ Ἀναστάσιμον Ἀπολυτίκιον, Δόξα... Τῶν Ἁγίων, Καὶ νῦν... Θεοτοκίον, ὡς ἐν τῷ Ἑσπερινῷ.

Μετὰ τὴν α΄ Στιχολογίαν, Ἀναστάσιμον Κάθισμα

Δόξα... Ἦχος δ΄ Κατεπλάγη Ἰωσήφ.

Ἑορτὴν πνευματικήν, ἐπιτελέσωμεν φαιδρῶς, τοὺς ἀγῶνας τοὺς σεπτούς, καὶ ἀριστείας τὰς λαμπράς, ἀνευφημοῦντες οἱ Κύπριοι ὁμοφρόνως, τῶν βίῳ εὐαγεῖ, καὶ θείοις θαύμασι, καὶ ἔργοις ἀγαθοῖς, καὶ τρόποις κρείττοσι, διαλαμψάντων Ἁγίων ἐν τῇδε τῇ Νήσῳ, καὶ πρεσβευόντων, πάσης ἀνάγκης, πάντας ἡμᾶς ῥυσθῆναι.

Καὶ νῦν... Θεοτοκίον

Θεοχώρητε σκηνή, θεοχαρίτωτε Ἁγνή, ἡ τεκοῦσα ἐν σαρκί, τὸν Ὑπερούσιον Θεόν, χαῖρε Παρθένε ἀνθρώπων ἡ σωτηρία· πάσης γὰρ ὀργῆς, τῇ ἀντιλήψει σου, ἅπαντες ἡμεῖς ἀπολυτρούμεθα, οἱ ἀδιστάκτῳ καρδίᾳ ἐλπίζοντες, τῇ κραταιᾷ προστασίᾳ σου· διὸ ὑμνοῦμεν, Θεογεννῆτορ, τὴν πρὸς ἡμᾶς σου χρηστότητα.

Μετὰ τὴν β΄ Στιχολογίαν, Ἀναστάσιμον Κάθισμα

Δόξα... Ἦχος πλ. δ΄ Τὴν Σοφίαν καὶ Λόγον.

Ἀποστόλων χορείαν τὴν εὐκλεῆ, καὶ μαρτύρων τὸν δῆμον τὸν ἀρραγῆ, ὁσίων τὸ σύστημα, καὶ ποιμένων τὸν σύλλογον, τῆς Κύπρου τοὺς ἐφόρους καὶ λύχνους ἐκλάμποντας, τὰς μυστικὰς ἐκφάνσεις ἀγάπης τῆς κρείττονος, πάντες ὁμοφρόνως, μεγαλύνωμεν ὕμνοις, ὡς ἂν ταῖς δεήσεσι, ταῖς αὐτῶν πάσης θλίψεως, ἐν τῷ βίῳ ῥυώμεθα· πρεσβεύουσιν ἀεὶ γὰρ Χριστῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην αὐτῶν.

Καὶ νῦν... Θεοτοκίον

Ὑψηλῶν μυστηρίων περιοχή, ἀπορρήτων πραγμάτων πλοῦτος ζωῆς, θείας ἀγαθότητος, ἀνεξάντλητον πέλαγος, θεαρχικῶν χαρίτων ταμεῖον ἀκένωτον, ἐδείχθης Θεοτόκε, Θεὸν σωματώσασα· τίς οὖν ἀνυμνήσει, τὰ πολλὰ μεγαλεῖα, τῆς σῆς ἐκλαμπρότητος καὶ τῆς δόξης σου Ἄχραντε, Μαριὰμ ὑπερένδοξε; Ἀλλὰ τοὺς μετὰ πόθου Ἁγνή, ἀφορῶντας ταῖς σαῖς ἀντιλήψεσιν, ἀπὸ πάσης ἀνάγκης, ἀτρώτους διάσῳζε.

Μετὰ τὸν Πολυέλεον, Ἀναστάσιμον Κάθισμα

Δόξα... Ἦχος πλ. δ΄ Τὸ προσταχθέν.

Ἡ νῆσος Κύπρος ἐπαγάλλεται καὶ χαίρει, ὑμῶν τὴν μνήμην ἑορτάζουσα τὴν θείαν, ἀθλοφόροι μάρτυρες καὶ ὅσιοι πατέρες· ἐν ταύτῃ γὰρ ἐναθλήσαντες εὐσεβῶς, μυρίων αὐτὴν ἐπλήσατε ἀγαθῶν·

www.tezaurliturgic.ro



ἧς καὶ νῦν προϊστάμενοι, ἀνιαρῶν ἐπιφοράς, ἐκ ταύτης ἀποτρέπετε, καὶ εἰρήνην βραβεύετε.

Καὶ νῦν... Θεοτοκίον

Σὺν τοῖς Ἁγίοις τοῖς ἐν Κύπρῳ Θεοτόκε, ἀκαταπαύστως ἐκδυσώπει τὸν Υἱόν σου, οἰκτειρῆσαι ἅπαντας τοὺς σὲ ὑμνολογοῦντας, καὶ δοῦναι ἡμῖν πταισμάτων ἀπαλλαγήν, καὶ βίου Κόρη εὐστάθειαν ἀκλινῆ· ὡς ἂν βίον θεάρεστον, πολιτευθέντες εὐσεβῶς, τῆς ὑπὲρ νοῦν λαμπρότητός, καὶ ζωῆς ἐπιτύχωμεν.

Τὰ Εὐλογητάρια, ἡ Ὑπακοή, οἱ Ἀναβαθμοὶ τοῦ Ἤχου, τὸ Προκείμενον καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου, Ἀνάστασιν Χριστοῦ Θεασάμενοι.

Ὁ Ν΄ Ψαλμὸς

Δόξα... Ταῖς τῶν σῶν Ἁγίων...

Καὶ νῦν... Ταῖς τῆς Θεοτόκου...

Στίχ. Ἐλέησόν με, ὁ Θεός...

Ἀναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου...

Τὸ Ἰδιόμελον

Ἦχος β΄

Περιφανὴς χορεία ὤφθητε, πεποικιλμένη τῇ χάριτι, πάντες οἱ ἐν Κύπρῳ Ἅγιοι· εἰ γὰρ καὶ διαφόροις καιροῖς ἠριστεύσατε, ἀλλ᾽ ἡνωμένοι ἤδη πέλετε, κατοικισθέντες ἐν ἀπροσίτῳ φωτί· διὸ αἰτοῦμεν ὑμᾶς, τῇ Ὑπερθέῳ Τριάδι πρεσβεύετε, πάσης ἀνάγκης ῥύεσθαι, τοὺς ὑμᾶς μακαρίζοντας.

Οἱ Κανόνες. Ὁ Ἀναστάσιμος τοῦ Ἤχου

καὶ τῶν Ἁγίων

Κανὼν πρῶτος, οὗ ἡ Ἀκροστιχίς·

Ἁγίων σύστημα Κυπρίων μέλπω, Γερασίμου.

Ὠδὴ α΄

Ἦχος α΄ Σοῦ ἡ τροπαιοῦχος δεξιά.

Ἄναρχε Τριὰς μοναδική, τῶν ἐν τῇ Κύπρῳ λαμψάντων Ἁγίων σου, ἱεραῖς δεήσεσι, τὴν σκοτισθεῖσαν ψυχήν μου καταύγασον, ὡς ἂν τούτων μέλψω, τὴν μακαρίαν συνέλευσιν.

Γνώμῃ ἐναθλήσας ἀκλινεῖ, ὁ ἱεράρχης Ἀπρίων ἠγώνισται· καὶ ὁ Ἀθανάσιος, ὁ ἀναγνώστης Χριστὸν ἐμεγάλυνεν, οἷς συνευφημείσθω, Ἀριστοκλῆς ὁ πρεσβύτερος.

Ἴασιν βραβεύων ταῖς ψυχαῖς, ὁ τοῦ Χριστοῦ μαθητὴς Ἀριστόβουλος, ἐν τῷ κόσμῳ ἔλαμψεν, οὗ μιμηταὶ ὁ θεόφρων Αὐξίβιος, σὺν τῷ Ἀλεξάνδρῳ, τῷ Ἀμαθοῦντος ἐδείχθησαν.

Θεοτοκίον

Ὤφθης πλατυτέρα οὐρανῶν, ἐν τῇ γαστρί σου χωρήσασα Πάναγνε, τὸν τῶν ὅλων Κύριον, τὸ καθ᾽ ἡμᾶς προσλαβόμενον φύραμα, ἐκ τῶν σῶν αἱμάτων, δι᾽ εὐσπλαγχνίαν ἀμέτρητον.

Κανὼν δεύτερος, οὗ ἡ Ἀκροστιχίς·

Πάντες ἅγιοι τῆς Κύπρου, σκέπετε ἀεὶ τὴν νῆσον ταύτην. Χ.Μ. Μπ.

Ἦχος πλ. δ΄ Ἁρματηλάτην Φαραώ.

Περικλυτὸν Ἁγίων Κύπρου σύλλογον, τῶν ἀποστόλων Χριστοῦ, τούτων διαδόχων, ἀθλητῶν συστήματος, ἱεραρχῶν συντάγματος, δήμου ὁσιοάθλων, καὶ νεοάθλων ἐν ᾄσμασι, πάντες οἱ πιστοὶ μακαρίσωμεν.

Ἀρρήτου δόξης τὸν τρυφῶντα μέλψωμεν, ἐν οὐρανίοις σκηναῖς, θεαυγῆ Βαρνάβαν νήσου Κύπρου καύχημα, καὶ ἀποστόλων σέμνωμα, ὕμνοις μελισταγέσιν, ὡς Ἐκκλησίας ὀσφράδιον, πάντερπνον ἀξίως φιλέορτοι.

Νῦν Ἀποστόλων τὴν σεπτὴν ὁμήγυριν, Παῦλον εἰς οὐρανόν, τρίτον ἀναβάντα, ὕμνων κρίνοις στέψωμεν, σὺν Μάρκῳ, Ἀριστόβουλον, Τυχικόν τε Ἀνδρέαν, καὶ Ἐπαφρᾶν, Πάφου πρόεδρον, ὡς θεοειδεῖς Χριστοκήρυκας.

Τῶν μαθητῶν τῶν ἀποστόλων σύλλογον, μέλψωμεν θεοπρεπῶς, Μνάσωνα τὸν πάνυ, Ταμασσοῦ ἐπίσκοπον, θεόπνουν Ἡρακλείδιον, καὶ Αὐξίβιον Σόλων, σὺν Κορνηλίῳ καὶ Τίμωνι, σκεῦος δωρεῶν Ἀριστίωνα.

Εὐφήμως γέρας ἀποστόλων Φίλιππον, οὗ τὴν σεπτὴν κεφαλήν, Ὅμοδος κατέχει, νῦν ἐγκωμιάσωμεν, Ἀριστοκλειανὸν ὁμοῦ, τοῦ Βαρνάβα, καὶ Μάρκου, τὸν μαθητὴν καὶ τὸν εὔψυχον, Ῥόδωνα τοῦ Πνεύματος σκήνωμα.

www.tezaurliturgic.ro



Θεοτοκίον

Σεμνοπρεπὲς εὐλογημένη Πάναγνε, ἡ ἐλεοῦσα πιστῶν, τοὺς χοροὺς ἀπαύστως, πᾶσι τοῖς οἰκέταις σου, πορίζεις χάριν ἄφθονον, οὐρανοῦ ἐκ ταμείων, καὶ ἀπελαύνεις τὴν ζόφωσιν, λυπηρῶν ἐκ Κύπρου καὶ θλίψεων.

Καταβασία

Ἀνοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται Πνεύματος, καὶ λόγον ἐρεύξομαι, τῇ βασιλίδι Μητρί· καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γηθόμενος, ταύτης τὰ θαύματα.

Ὠδὴ γ΄

Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν.

Νομίμως βιώσας καὶ σοφῶς, Ἀρκάδιος ὁ ἔνθεος, τῆς Ἀρσινόης ἐδείχθη πρόεδρος, ὥσπερ ὁ ἥλιος χρυσαυγέστατος, Βαρνάβας ὁ ἔνδοξος, ὁ Χριστοῦ ἀπόστολος, νοητῶς ἐν τῇ Κύπρῳ ἐξέλαμψε.

Στερρότητι ἤθλησε ψυχῆς, ὁ ἀθλητὴς Γεώργιος, καὶ τοὺς τῆς Ἄγαρ υἱοὺς κατῄσχυνεν, ἱεραρχίας δὲ φέγγει ἔλαμψεν, ὁ σεπτὸς Γρηγόριος, ὁ κλεινὸς ἐπίσκοπος, γρηγορῶν ἐν τῷ θείῳ θελήματι.

Ὑμνείσθω ἐν ὕμνοις ἱεροῖς, Γεννάδιος ὁ ἔνθεος, ὁ Βυζαντίου ποιμὴν πανάριστος, ἐν Κισσοπτέροις τῆς Κύπρου κείμενος· ἐν αὐτοῖς τὸ πνεῦμα γάρ, τῷ Θεῷ παρέθετο, ἰαμάτων βλυστάνων δωρήματα.

Θεοτοκίον

Σαρκός μου τὴν ἔκλυσιν Ἁγνή, νοὸς τὴν ἀμαυρότητα, καὶ τῆς ψυχῆς Παρθένε τὰ τραύματα, τῇ ῥωστικῇ σου ἴασαι χάριτι, καὶ φωτί με λάμπρυνον, τῆς σῆς ἀγαθότητος, τῶν παθῶν μου τὸν ζόφον σκεδάζουσα.

Ἕτερος

Οὐρανίας ἁψῖδος.

Ἀρχιθύτα Ἀρίστων, ἡδὺ Χριστοῦ πίστεως, κύμινον καὶ τῆς Ἀρσινόης, ἄνθος πανεύοσμον, καὶ Κωνσταντίας λαμπάς, σοφὲ Ἀνθέμιε πάντων, τὰς ψυχὰς φωτίσατε, φέγγει χρηστότητος.

Γεγηθότες τιμῶμεν, ὑμᾶς ᾠδαῖς πάντοτε, Σαλαμῖνος θεῖε ἐπόπτα, σῶφρον Ἀκάκιε, καὶ Ἀμαθοῦντος ποιμήν, αἱρετικῶν πολεμῆτορ, ἄγρυπνε Ἀλέξανδρε, θεοειδέστατε.

Ἱεράρχην θεόπνουν, ὕμνοις φαιδροῖς στέψωμεν, Σαλαμῖνος, ὥσπερ ποιμένα, θεῖον Ἀρκάδιον, καὶ Ἀρσινόης αὐτοῦ, σεπτὸν συνώνυμον πίστει, ἐκβοῶντες· Χαίρετε, πίστεως πρόβολοι.

Ὁ Βασίλειος μύστης, τῆς Ταμασσοῦ ἔνθεος, ὁμολογητὴς Σαλαμῖνος, ἅμα Γελάσιος, σὺν Γενναδίῳ σεπτῷ, τῷ κοιμηθέντι ἐν Πάφῳ, πατριάρχῃ ὕμνοις νῦν, ἀνευφημείσθωσαν.

Ἱερώτατε Ζήνων, θαυματουργὲ πρόεδρε, τοῦ Κουρίου ὁ νήσου Κύπρου, τὸ αὐτοκέφαλον, ὑποστηρίξας στερρῶς, τῆς Ἐκκλησίας ἐν πόλῳ, σὺν ἀγγέλων τάγμασι, χαίρεις ἀείποτε.

Θεοτοκίον

Τὸν πυρίφλεκτον θρόνον, τοῦ Λυτρωτοῦ μέλψωμεν, Κεχαριτωμένην Παρθένον, Θεογεννήτριαν, ὡς σωτηρίας πιστῶν, αἰτίαν καὶ παραστάτιν, τῶν Κυπρίων ἄγρυπνον, πρὸς βίον κρείττονα.

Καταβασία

Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ἡ ζῶσα καὶ ἄφθονος πηγή, θίασον συγκροτήσαντας πνευματικόν, στερέωσον· καὶ ἐν τῇ θείᾳ δόξῃ σου, στεφάνων δόξης ἀξίωσον.

Συναπτὴ μικρά, τὸ Ἀναστάσιμον Κοντάκιον

καὶ ὁ Οἶκος

Κάθισμα

Ἦχος δ΄ Ἐπεφάνης σήμερον.

Ἱεράρχαι, ὅσιοι, καὶ ἀθλοφόροι, οἱ ἐν Κύπρῳ λάμψαντες, σὺν ἀνωνύμοις τοῖς σεπτοῖς, πάσης ἀνάγκης λυτρώσασθε, τοὺς ἐκτελοῦντας ὑμῶν τὴν πανήγυριν.

Θεοτοκίον

Θεοτόκον ἄχραντον, ὁμολογοῦντες, οἱ ἐν Κύπρῳ Ἅγιοι, σὲ τὴν τεκοῦσαν τὸν Θεόν, πᾶσαν διήλεγξαν αἵρεσιν, Θεογεννῆτορ, πιστῶν ἡ βοήθεια.

Ὠδὴ δ΄

Ὄρος σε τῇ χάριτι.

Τέτρωται ὁ δόλιος τοῖς σοῖς ἀριστεύμασι, διάκονε τοῦ Ἰησοῦ, καὶ μάρτυς Δημητριανέ· Χριστὸς δὲ δεδόξασται, τῷ ἐναρέτῳ Διόμηδες βίῳ σου, ὁ σὲ δοξάσας πλουσίως ἐν θαύμασιν.

www.tezaurliturgic.ro



Ἦστραψας ἐν δόγμασι σοφὲ Ἐπιφάνιε, Ὀρθοδοξίας ἀκραιφνοῦς, ὡς ἱεράρχης εὐκλεής· στερρῶς δ' ἠγωνίσαντο, ὁ Ἡρακλείδης αἰσχύνας τὸν δράκοντα, καὶ ὁ Θεράπων ὁμοῦ καὶ Θεόδοτος.

Μόνον ἐπεπόθησας Χριστὸν ἐκ καρδίας σου· ὅθεν καὶ τούτου τὸν σταυρόν, ἦρας Θεόδουλε σοφέ· πηγὴ δὲ ἀείρυτος, ὦ Ἰωάννη ἐλέους γεγένησαι, τῶν οἰκτιρμῶν πελαγίζων τὰ ῥεύματα.

Θεοτοκίον

Ἄχραντε πανάμωμε, Θεοῦ ἡ λοχεύτρια, ἡ ἀνωδίνως τὸν Χριστόν, κυοφορήσασα ἡμῖν, ψυχῆς μου τὴν πώρωσιν, καὶ τῆς σαρκὸς τὰς ὀδύνας θεράπευσον, καὶ τὴν ζωήν μου ὡς οἶδας βελτίωσον.

Ἕτερος

Σύ μου ἰσχύς, Κύριε.

Ἡ λαμπηδών, τῆς Κωνσταντίας ἡ πάμφωτος, ἱεράρχης, ὅσιος Γρηγόριος, καὶ ὁ σεπτὸς Δημητριανός, ὁ ἱεροφάντωρ Χύτρων, ὁ Εὐστάθιος τῶν Σόλων, ὡς σκοτίας, καταλύται ποιμνίου, εὐσεβόφρονος ὕμνοις τιμάσθωσαν.

Στῦλον λαμπρόν, θεογνωσίας τιμήσωμεν, ὁλοθύμως, μέγαν Ἐπιφάνιον, τῆς Ἐκκλησίας φωταγωγόν, σὺν τῷ Ἡρακλείῳ, ἀσκήσει τῷ διαλάμψαντι, συντόνῳ ἐν Κοφίνου, παρρησίᾳ βοῶντες· εὐσεβείας προπύργια χαίρετε.

Κυριακόν, τῆς Πάφου ἱεροφάντορα, Καρπασίου Θύρσον πνευματέμφορον, σὺν ἀρχιθύτῃ Δαμιανῷ, τῷ μακαριστῷ τε Ἰωάννῃ τῷ ἐλεήμονι, Κιτίου Θεοδώρῳ, καὶ κλεινῷ Θεοπρόβῳ, δεῦτε, στέψωμεν ὕμνων τοῖς ἄνθεσιν.

Ὑπὲρ ἡμῶν, ἐκδυσωπεῖτε τὸν Κύριον, Ἰωάννη Πάφου σεμνολόγημα, Κορνοῦτε πάτερ θεοειδές, καὶ Κιτίου φῶς Ἰσαάκιε, παμφαέστατον, σὺν τῷ τετραημέρῳ, ἱεράρχῃ Λαζάρῳ, τοῦ Κυρίου τῷ φίλῳ τῷ ἔμφρονι.

Περικλεέςς, πάτερ ἐκθύμως ὑμνοῦμέν σε, βιογράφε, ἱερὲ Λεόντιε, τοῦ Ἐλεήμονος τοῦ σοφοῦ, Συμεὼν κληθέντος Σαλοῦ, καὶ ὀρθῶν Σπυρίδωνος, προμάχου τῶν δογμάτων· Νεαπόλεως μύστα, τιμαλφὲς Ἐκκλησίας διάκοσμε.

Θεοτοκίον

Ῥοὰς ἡμῶν, δακρύων Κόρη ἀπόσμηξον, μανδηλίῳ, σῶν εὐχῶν πρὸς Κύριον, σὸν θεῖον Τόκον μονογενῆ, καὶ εἰς χαρμονὴν μεταποίησον, Μητροπάρθενε, ἡμῶν τὴν λύπην τάχος, σὲ τῶν ὕμνοις τιμώντων, καὶ ἀείποτε μακαριζόντων σε.

Καταβασία

Τὴν ἀνεξιχνίαστον θείαν βουλήν, τῆς ἐκ τῆς Παρθένου σαρκώσεως, σοῦ τοῦ Ὑψίστου, ὁ προφήτης Ἀββακοὺμ, κατανοῶν ἐκραύγαζε· Δόξα τῇ δυνάμει σου Κύριε.

Ὠδὴ ε΄

Ὁ φωτίσας τῇ ἐλλάμψει.

Καθαιρέτης, ἱεράρχα Λεόντιε πέφηνας, τῶν πνευμάτων, τῆς κακίας τῇ τοῦ Πνεύματος χάριτι· θεῖος δὲ τῆς Πάφου ὁδηγός, καὶ πρὸς Θεὸν μεσίτης, Μακάριε παμμακάριστε.

Ὑποφήτης, τῶν ἀρρήτων ὡς τοῦ Λόγου ἀπόστολος, ἀνεδείχθης, θεῖε Μᾶρκε Βαρνάβᾳ τῷ μάκαρι· θεῖος δὲ Χριστοῦ ἱερουργός, καὶ μάρτυς νικηφόρος, Μάρκελλε μύστα τῆς Χάριτος.

Πρὸς ἀγῶνας, μαρτυρίου ἀνδρικῶς ἀπεδύσασθε, Μάρτυρες οἱ δύο ἅμα καὶ γενναίως ἠθλήσατε, Μύρων δὲ καὶ Μνάσων οἱ κλεινοί, Κυρίου ἱεράρχαι, ἀθλητικῶς ἠγωνίσασθε.

Θεοτοκίον

Ῥάβδος ἔντιμος, ἐδείχθης ἀληθῶς καὶ θεόβλαστος, ἀποτίστως, ἡ τὸ ἄνθος τῆς ζωῆς ἐκβλαστήσασα, οὗ τῇ εὐωδίᾳ Ἀγαθή, παθῶν ἐκ τῆς ψυχῆς μου, τὴν δυσωδίαν ἀπέλασον.

Ἕτερος

Ἵνα τί με ἀπώσω.

Οὐρανόφωτε Παῦλε, Κωνσταντινουπόλεως φανέ, Λεόντιε, Ἱεροσολύμων πατριάρχα, καὶ Πάφου Μακάριε, σὺν τῷ Παναρέτῳ, πνευματοφόρῳ ἐπισκόπῳ, Πάφου, κλέη τῆς Κύπρου ὑπάρχετε.

Ὑμνῳδίαις ἀπαύστοις, ὑμᾶς μεγαλύνομεν, λαμπρῶς Πολύβιε, Ἀρσινόης Νίκων, Ταμασσοῦ Νεῖλε καὶ Μακεδόνιε, θεῖοι ἀρχιθύται· τῆς Τριμυθοῦντος Νέστορ φάος, καὶ Νικήτα, τῶν Χύτρων καλλώπισμα.

Σὺν Σαββίνῳ, Ῥηγίνῳ, Σεργίῳ θεόφρονι, πανσέμνῳ Ῥόδωνι, θείῳ Σωφρονίῳ, ἀρραγεῖ, Τριμυθοῦντος Σπυρίδωνι, Ὀρθοδόξων στύλῳ, καὶ Πορφυρίῳ, Φιλωνίδῃ, τὰ ὑμῶν ἀνυμνοῦμεν παλαίσματα.

www.tezaurliturgic.ro



Καρπασέων κοσμῆτορ, πυρσὲ Φίλων πίστεως, λαμπὰς Συνέσιε, ἦθους σὺν τῷ Πάφου, Φιλαγρίῳ ἐφόρῳ καὶ Τύχωνι, Ἀμαθοῦντος μύστη, καὶ Φωτεινὲ τρισμάκαρ Χύτρων, ποιμενάρχα πιστοὺς περισκέπετε.

Ἐγκαλλώπισμα Λήδρων, θεόφρον Τριφύλλιε, ποιμένων σέμνωμα, σὴν ἁγίαν κάραν, ἐν μονῇ Κύκκου νῦν ἀσπαζόμενοι, σοῦ τὰς ἱκεσίας, πρὸς τὸν Χριστὸν τὸν ζωοδότην, ἐκζητοῦμεν Κυπρίων οἱ σύλλογοι.

Θεοτοκίον

Παναγία Παρθένε, τῆς Κύπρου ἀνύστακτε φρουρὲ καὶ πρόμαχε, καὶ ἀκέστορ, σκέπε, χριστωνύμων χοροὺς μεγαλύνοντας, σὲ εἰς τοὺς αἰῶνας, ὡς Κεχαριτωμένην Κόρην, μεροπείου τοῦ γένους διάσωσμα.

Καταβασία

Ἐξέστη τὰ σύμπαντα, ἐπὶ τῇ θείᾳ δόξῃ σου· σὺ γὰρ ἀπειρόγαμε Παρθένε, ἔσχες ἐν μήτρᾳ, τὸν ἐπὶ πάντων Θεόν, καὶ τέτοκας ἄχρονον Υἱόν, πᾶσι τοῖς ὑμνοῦσί σε, σωτηρίαν βραβεύουσα.

Ὠδὴ ς΄

Ἐκύκλωσεν ἡμᾶς ἐσχάτη ἄβυσσος.

Ἱέρευσαν ὁσίως τῷ Παντάνακτι, ὡς ἱεράρχαι ὅσιοι, Μελέτιος ὁ ἔνθεος ποιμήν, καὶ Νέστωρ Τριμυθοῦντος ὁ ἐπίσκοπος· ὅθεν ζωῆς, τῆς οὐρανίου κατηξιώθησαν.

Ὡς ἄρνες τῷ ποιμένι σοι ἑπόμενοι, Χριστὲ κατηκολούθησαν, τοῖς ἴχνεσι τοῖς σοῖς ἀσκητικῶς, Πατέρες οἱ ἐννέα καὶ τριάκοντα, σὺν τοῖς λοιποῖς, ἐν Κύπρῳ ἀνδραγαθήσαντες.

Νεκρόν σε ἀναστήσας τετραήμερον, Χριστὸς ὡς φίλον Λάζαρε, ποιμένα σε Κιτίου εὐκλεῆ, ἀνέδειξεν ὁ μόνος Πολυέλεος· ὅθεν Αὐτῷ, θεοπρεπῶς ἱεράτευσας.

Θεοτοκίον

Μητέρα σε Κυρίου ἀδιάφθορον, Παρθένε ἐπιστάμενοι, πάντες οἱ ἐν Κύπρῳ τῷ Θεῷ, βίῳ ἱερῷ εὐαρεστήσαντες, θεοπρεπῶς, τῷ σῷ Υἱῷ ἠκολούθησαν.

Ἕτερος

Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον.

Εὔϊλατον δυσωπεῖτε Κύριον, ὑπὲρ πάντων προμαχήσας Κυπρίων, μάρτυς Θεόφιλε, Εὔβουλε, Μάμα, Ῥηγῖνε, Μαῦρά τε, Ἄμμων, Νεμέσιε, θεόφρον Δημητριανέ, Ἀριστόκλεις καὶ μάκαρ Ποτάμιε.

Τιμήσωμεν ἀνωνύμων σύλλογον, ἀθλητῶν τῶν πρώτων, πάντες, αἰώνων, καὶ τοὺς ἑπτὰ κεκλημένους Φανέντας, σὺν δύο ἅμα καὶ εἴκοσι Μάρτυσι, τοὺς ἐπιχρώσαντας ῥοαῖς, τῶν αἱμάτων αὐτῶν Μεγαλόνησον.

Ἐκχύσαντες ῥεῖθρα πολυτίμητα, τῶν ὑμῶν αἱμάτων χθόνα τῆς Κύπρου, καθηγιάσατε, Μαχαιρωμένε, Ἀναλιόντα λαμπρότης, Γεώργιε, Ἀλέξανδρε καὶ γεραρέ, ἀναγνῶστα, στερρὲ Ἀθανάσιε.

Ἀήττητε ἰατὴρ τιμῶμέν σε, μάρτυς Ἰουλιανὲ ἀθλοφόρε, καὶ βουλευτὰ μάκαρ, Λούκιε, ὕμνοις, σὲ καταστέφομεν πάντες γηθόμενοι, σὺν τῷ Διδύμῳ, τοῦ Χριστοῦ ἀθλητῇ, ὡς ἑδραίωμα πίστεως.

Ἐλάμψατε κόσμῳ ὁσιότητι, καὶ ἀθλήσει καρτερᾷ, Ἰωάννη, σὺν Γερασίμῳ, Θεόκτιστε, Μᾶρκε, Ἱερεμία, Θεόγνωστε, Μάξιμε, Κύριλλε, Κόνων, Ἰωσήφ, Βαρλαάμ, Γερμανὲ καὶ Γεννάδιε.

Θεοτοκίον

Ἰθύντειρα εὐσεβῶν πρὸς θέωσιν, ἀγλαὴ Θεογεννήτρια, πέλεις, καὶ ποδηγὸς πρὸς νομὰς σωτηρίας, τῶν προστρεχόντων τῇ θείᾳ σου χάριτι, Παρθενομῆτορ ἀγαθή, τῶν Κυπρίων χαρὰ καὶ ἀντίληψις.

Καταβασία

Τὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες ἑορτὴν οἱ θεόφρονες, τῆς Θεομήτορος, δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα, Θεὸν δοξάζοντες.

Κοντάκιον

Ἦχος πλ. δ΄ Τῇ ὑπερμάχῳ στρατηγῷ.

Τοὺς ἐν τῇ Κύπρῳ ὡς ἀστέρας διαλάμψαντας, σὺν ἀποστόλοις, ἱεράρχας τε καὶ μάρτυρας, καὶ ὁσίους μακαρίσωμεν ὁμοφρόνως· διαφόροις γὰρ ἐν χρόνοις διαπρέψαντες, νῦν εἰς μίαν συνηρμόσθησαν ὁμήγυριν· οἷς βοήσωμεν· Χαίροις ἅγιον σύστημα.

www.tezaurliturgic.ro



Ὁ Οἶκος

Ἅπαντες οἱ ἐν Κύπρῳ, συνελθόντες ἐνθέως, αἰνέσωμεν τοὺς ἐν ταύτῃ τῇ νήσῳ, διαφόροις χρόνοις καὶ καιροῖς, ἐν ἀθλήσει καὶ βίου καθαρότητι, ὁσίως διαλάμψαντας, βοῶντες πρὸς αὐτοὺς τοιαῦτα·

Χαίρετε Κύπρου οἱ πολιοῦχοι·
χαίρετε μάρτυρες τροπαιοῦχοι.

Χαίρετε ἀπόστολοι θεοειδέστατοι·
χαίρετε νεόαθλοι καρτερικώτατοι.

Χαίρετε ποιμένες ἔνδοξοι καὶ σοφοὶ ἀρχιερεῖς·
χαίρετε πατέρες ὅσιοι, τοῦ Σωτῆρος κοινωνοί.

Χαίρετε ἐν Κυρίῳ οἱ ἀνώνυμοι πάντες·
χαίρετε θεοφόροι οὐρανόφρονες ἄνδρες.

Χαίρετε Κύπρου τὰ ὡραΐσματα·
χαίρετε κόσμου τὰ ἐντρυφήματα.

Χαίρετε πρέσβεις ἡμῶν πρὸς τὸν Κτίστην·
χαίρετε σκέπη ἡμῶν ἐν κινδύνοις.

Χαίροις ἅγιον σύστημα.

Συναξάριον

Τὸ Μηνολόγιον τῆς ἡμέρας

Τῇ αὐτῇ ἡμέρᾳ, Κυριακῇ Α΄ μηνὸς Ὀκτωβρίου, μνήμην ἐπιτελοῦμεν πάντων τῶν ἐν τῇ νήσῳ Κύπρῳ διαλαμψάντων Ἁγίων, ἀποστόλων, μαρτύρων, ἱεραρχῶν τε καὶ ὁσίων.

Στίχοι

Ἡ Κύπρος ἑόρταζε εὐφραινομένη,
Ἐν σοὶ γὰρ διέλαμψεν πληθὺς Ἁγίων.

Κύπρος θεοειδῆ ὁμήγυριν Χριστοῦ ἑταίρων κυδαίνει.

Λεοντίου ἐπισκόπου Νεαπόλεως τῆς Κυπρίων νήσου, εἰς τὰ λειπόμενα τοῦ βίου τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Ἀλεξανδρείας Ἰωάννου τοῦ ἐλεήμονος.

Μηδείς, ὦ φιλόχριστοι, τῇ τοιαύτῃ θαυματουργίᾳ ἀπιστείτω. Καὶ γὰρ μέχρι τοῦ νῦν ἔστιν ἰδεῖν ἐν ταύτῃ τῇ φιλοχρίστῳ τῶν Κυπρίων νήσῳ ἐν διαφόροις ἁγίοις τὴν τοιαύτην τοῦ Θεοῦ χάριν ἐνεργοῦσαν, καὶ ὥσπερ ἐκ πηγῶν τὴν τῶν μύρων εὐωδίαν ἐκ τῶν τιμίων αὐτῶν λειψάνων προχεομένην εἰς δόξαν τῆς αὐτοῦ ἀγαθότητος, τιμὴν δὲ τῶν ἁγίων αὐτοῦ, προθυμίαν δὲ καὶ ζῆλον ἀγαθὸν τῶν μεταγενεστέρων ἀνθρώπων, ὅπως κατὰ μίμησιν αὐτῶν πολιτευσάμενοι τῶν αὐτῶν τιμῶν καὶ ἡμεῖς ἀξιωθῶμεν παρὰ τοῦ δικαίου μισθαποδότου Θεοῦ.

Γενώμεθα τοίνυν, ἀγαπητοί, καὶ ἡμεῖς ἐκπληρωταὶ τῶν προγεγραμμένων κατορθωμάτων τῶν ἁγίων τούτων καὶ ὡς πάροικοι ὄντες καὶ παρεπίδημοι ἐν τῇ ζωῇ ταύτῃ, εἰς τὸν αἰῶνα θησαυρίσωμεν τὸν μέλλοντα διὰ τῆς δαψιλοῦς τῶν δεομένων ἐπιδόσεως. Κατὰ γὰρ τὸν θεῖον Ἀπόστολον «ὁ σπείρων ἐπ' εὐλογίαις ἐπ' εὐλογίαις καὶ θερίσει», ἀντὶ τῶν φθαρτῶν τὰ ἄφθαρτα, ἀντὶ τῶν προσκαίρων τὰ αἰώνια, ἀντὶ τῶν αἰσθητῶν καὶ ὁρωμένων, «ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσεν καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν», ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ Ἁγίῳ Πνεύματι δόξα, τιμή, κράτος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄

Σὲ νοητήν, Θεοτόκε, κάμινον.

Ἐν τῷ φωτί, ἀρετῶν ἀσκήσεως, ὥσπερ λαμπάδες φαειναί, Θεοσέβιος ὁ κλεινός, ὁμοῦ καὶ Νεόφυτος, ὁ θεόφρων ἔγκλειστος, καὶ Νεῖλος τῆς Μαχαιράδος, καὶ ποιμενάρχης Ταμασσοῦ, πνευματικῶς ἀνέλαμψαν.

Λύχνος λαμπρός, Ἐκκλησίας πέφηνεν, ἐν ἐσχάτοις τοῖς καιροῖς, ἐκ τῆς Κύπρου λαμπαδουχῶν, ἀρετῶν τὴν ἔλλαμψιν, ὁ θεῖος Πανάρετος, τοῖς εὐσεβῶς μεγαλύνουσι, τὸν αἰνετὸν τῶν πατέρων, Θεὸν καὶ ὑπερένδοξον.

Πρὸς ἀσεβεῖς, ψυχῆς παραστήματι, ἀνδρικωτάτῳ ἀληθῶς, Πολύδωρος ὁ ἀθλητής, ἀντιπαρετάξατο, καὶ τούτους κατῄσχυνε, Χριστὸν κηρύξας λαμπρότατα, τὸν αἰνετὸν τῶν πατέρων, Θεὸν καὶ ὑπερένδοξον.

Θεοτοκίον

Ὤφθης Θεοῦ, θρόνος ὑψηλότατος, ὤφθης παλάτιον τερπνόν, Κεχαριτωμένη Ἁγνή, τοῦ ἐκ τῆς νηδύος σου, ἡμῖν ἀναλάμψαντος, Χριστοῦ τοῦ πάντων δεσπόζοντος· ὃν ἐκδυσώπει ἀπαύστως, σωθῆναι τοὺς ὑμνοῦντάς σε.

www.tezaurliturgic.ro



Ἕτερος

Παῖδες Ἑβραίων ἐν καμίνῳ.

Τίμιοι μάρτυρες Κυρίου, οἱ ἑσμὸν κατασυντρίψαντες βαρβάρων, κληρονόμοι χαρᾶς, ἐδείχθητε τῆς θείας, Δομέτιε, Θεότεκνε καὶ Διόγενες στερρόφρον.

Ἤθλησας ἐν τῇ Ὁρμιδείᾳ, Κωνσταντῖνε, τοῦ Ὑψίστου στρατιῶτα, καὶ σὺν ἄλλοις παισίν, Ἀσπρογιᾶς τῆς Πάφου, ἀλκίφρον Σῷζον, ἅγιε, εὐψυχίας μυροθῆκαι.

Νέοι φωστῆρες Ἀμαθοῦντος, Δημητριανέ, σεπτὲ Ἀνδριδιῶτα, δυσωπεῖτε Χριστόν, σὺν πάνυ Θεοφίλῳ, καὶ Γρηγορίῳ, μάρτυρες, ὑπὲρ τῶν ὑμᾶς ὑμνούντων.

Νέων μαρτύρων λαμπηδόνες, καταυγάζετε ἀεὶ πιστῶν χορείας, σὺν λαμπρῷ Μιχαήλ, Πολύδωρε γενναῖε, καὶ Γεωργίας βλάστημα, ὦ Νικόλαε, ἡδύπνουν.

Ἤθλησας ἐν τῇ Σαμαρείᾳ, ἱερόαθλε Φιλούμενε, ἀρτίως, καὶ μαρτύρων πυρσέ, Πτολεμαΐδος νέων, Γεώργιε, ὡς ἄσαρκος, δι᾽ ἀγάπην τοῦ Κυρίου.

Θεοτοκίον

Σῶσον τοὺς μεγαλύνοντάς σε, καθ᾽ ἑκάστην, μητροπάρθενε Κυρία, μελιρρύτοις ᾠδαῖς, καὶ ᾄσμασιν εὐήχοις, Θεοκυῆτορ Δέσποινα, προστασία σε ὑμνούντων.

Καταβασία

Οὐκ ἐλάτρευσαν, τῇ κτίσει οἱ θεόφρονες, παρὰ τὸν Κτίσαντα· ἀλλὰ πυρὸς ἀπειλήν, ἀνδρείως πατήσαντες, χαίροντες ἔψαλλον· ὑπερύμνητε, ὁ τῶν πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄

Ἐν καμίνῳ παῖδες Ἰσραήλ.

Γνώσει θείᾳ καὶ θεοειδεῖ, ἐκλάμψας πολιτείᾳ, Σπυρίδων θαυματοφόρε, παραδόξων αὐτουργός, θαυμάτων γεγένησαι, εὐλογεῖτε κραυγάζων πάντα τὰ ἔργα, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἐν ποιμέσι φαίνουσι λαμπρῶς, ὡς ἄδυτοι ἀστέρες, Συνέσιος ὁ θεόφρων, Καρπασίου ὁ ποιμήν, Σωφρόνιος μέγας τε, ἀρχιθύτης καὶ Σέργιος ὄντως ὁ θεῖος, σὺν τῷ Τριφυλλίῳ, τῷ προστάτῃ Λήδρων, καὶ Τύχων Ἀμαθοῦντος.

Ῥείθροις θείων ὄντως διδαχῶν, Πέτρου τοῦ κορυφαίου, Φιλάγριε θεοφόρε, ἀρδευθεὶς πνευματικῶς, ἐν Κύπρῳ ἀνέβλυσας, τὸ ἀλλόμενον ὕδωρ καὶ ἄφθαρτον, καὶ διψώσας καρδίας, ἐπότισας πλουσίως, εἰς δόξαν τοῦ Σωτῆρος.

Θεοτοκίον

Ἀνωτέρα ὤφθης Χερουβίμ, κηύσασα ὑπὲρ λόγον, τὸν πάντα ἐκ τοῦ μὴ ὄντος, ῥήματι τῷ ἑαυτοῦ, σοφῶς ὑποστήσαντα· διὸ ὑπέρτερον δεῖξον τὸν νοῦν μου, Κεχαριτωμένη τῆς τῶν παθῶν ἰλύος, καὶ κοσμικῶν φροντίδων.

Ἕτερος

Τὸν ἐν ὄρει ἁγίῳ δοξασθέντα.

Ὁ χορὸς Ὁμολογητῶν τιμάσθω, ὧδε ἐξορισθείς, καὶ σὺν Μαξίμῳ, Πάππος, καὶ μοναχὸς Γεώργιος, ὁ εὔψυχος, ὥσπερ ἀθλοφόροις, ἐκ ψυχῆς μυχίων, ἑπόμενοι εὐψύχοις.

Νῦν σοφὸν Ἀββακούμ, Καλαμιθίας, θεαυγῆ Βαρλαάμ, Ἀγάπιον τὸν θεῖον, καὶ μονοτρόπων γέρας, Καλανδίωνα, σὺν Ἀναστασίῳ, νήψεως πρυτάνει, τιμήσωμεν ἀξίως.

Τὸν Γεώργιον πάντες Χοζεβίτην, Ἡρακλείδην, αὐτοῦ ὁμαίμονα· Βαρνάβαν, σὺν προσευχῆς μαργάρῳ, Ἱλαρίωνι, καὶ τὸν Ἡσαΐαν, κτίτορα τοῦ Κύκκου, ὑμνήσωμεν τῆς Μάνδρας.

Ἀθανάσιον τὸν Πεντασχοινίτην, σὺν Δημητριανῷ, Βαρνάβᾳ τῷ ἐν Βάσῃ, Βηχιανῷ καὶ Νόμωνι, Ἀρκάδιον, Εὐφημιανόν τε, καὶ τὸν Διομήδη, τιμήσωμεν ἐκθύμως.

Ὕμνοις στέψωμεν τοῦ Ἡλιοφώτου, συνοδείαν λαμπράν, Ἐπίκτητον, Ὀρέστην, Χρυσοστομίτην ὅσιον, Γεώργιον, Ἰωνᾶν Περγάμου, Στέφανον Σιναίου, καὶ πάνσεπτον Κενδέαν.

Θεοτοκίον

Τῶν ὁσίων μητέρων, Θεοτόκε, Παύλης τε Φωτεινῆς, μητρός, Μαρίας Μάρκου, Δομνίκης, Κωνσταντίας, πέλεις σέμνωμα, θαυμαστῆς Εἰρήνης, καὶ ἰσαποστόλου, Ἑλένης βασιλίδος.

Καταβασία

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ Τόκος τῆς Θεοτόκου διεσώσατο, τότε μὲν τυπούμενος· νῦν δὲ ἐνεργούμενος, τὴν οἰκουμένην ἅπασαν, ἀγείρει ψάλ-

www.tezaurliturgic.ro



λουσαν· Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄

Τύπον τῆς ἁγνῆς λοχείας σου.

Σκεῦος ἱερὸν τοῦ Πνεύματος, ὁ Φιλωνίδης ὤφθη ὁ ἀξιάγαστος, ὁσίως Χριστῷ, ἱερατεύσας τὸ πρότερον, καὶ ἀθλήσει ἐκλάμψας τὸ ὕστερον, καὶ νῦν τὰ τῶν καμάτων, γέρα ἀξίως ἐκομίσατο.

Ἵνα τοῦ Χριστοῦ τῆς Χάριτος, τὰς μυστικὰς ἐλλάμψεις καταπλουτήσητε, ἀμέμπτως ἐν γῇ, τὴν πολιτείαν ἠνύσατε, ἱεράρχαι καὶ μύσται θεόφρονες, Φίλων σὺν Γελασίῳ, τῆς νήσου Κύπρου ὡραΐσματα.

Μύστης ἀκριβὴς τῆς Χάριτος, ὡς ἀρετῶν ἐργάτης θεοειδέστατος, Τύχων ἱερέ, ὡς ἀληθῶς ἐχρημάτισας, καὶ ποιμὴν Ἀμαθοῦντος περίδοξος· διὸ ἡ νῆσος Κύπρος, τῇ θείᾳ δόξῃ σου σεμνύνεται.

Ὅμιλε Ἁγίων ἔνθεε, μνημονευθέντες ἅπαντες καὶ ἀνώνυμοι, ἐκ πάσης ὀργῆς, τὴν νῆσον Κύπρον φυλάττετε, τὴν ὑμᾶς χαρμοσύνως γεραίρουσαν, ἡμᾶς δὲ λυτρωθέντας τῷ Ζωοδότῃ προσαγάγετε.

Θεοτοκίον

Ὕψος τῆς ἀρρήτου δόξης σου, καὶ τὸ τοῦ τόκου σου, ὦ Κόρη, μυστήριον, πίστει ἀκλινεῖ, πάντες ἡμεῖς μεγαλύνομεν· τὸν Θεὸν γὰρ ἀφράστως γεγέννηκας, τὸν σῴζοντα Παρθένε, τοὺς προσκυνοῦντας τὴν Εἰκόνα σου.

Ἕτερος

Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός.

Ἡσύχιε, παμμάκαρ Κασσιανέ, Ἱλαρίων μεγάλε, Νεόφυτε τοῦ Μαχαιρᾶ, Ταμασσοῦ Θεόδωρε ἱερέ, Ἀξύλου Ἐπιφάνιε, Ἰωάννη σῶφρον, Λαμπαδιστά, καὶ Κοιλανίου εὖχος, Θεράπον θεοφόρε, πιστῶν χορείας ἁγιάζετε.

Νεόφυτε, Λευκάρων σεπτὲ βλαστέ, Γαλατείας κοσμῆτορ, Σῳζόμενε, Ὀλβιανέ, Κόνων, τῆς Εὐρύχου Κυριακέ, λαμπτὴρ Σινᾶ, Γρηγόριε, τῆς Αὐδήμου γέρας, Κασσιανέ, Κοφίνου Χριστοφόρε, Συνέσιε τῆς Λύσης, Φώτιε Ἀθηαίνου, χαίρετε.

Χαρίτων, τῆς Ἀξύλου φῶς τηλαυγές, Ποταμίας οἰκῆτορ, Σῳζόμενε, Σάββα, Κοσμᾶ, μάκαρ Θεοσέβιε, προσευχῆς, Ὀνησιφόρε μέλαθρον, καὶ τῆς Μόρφου κλέος, Εἰρηνικέ, μὴ παύσησθε ὑψόθεν, ὑμῶν ταῖς ἱκεσίαις, πιστῶν χοροὺς ἐπιστηρίζοντες.

Μετέχετε τῆς δόξης νῦν οὐρανῶν, ἱερόαθλοι ὥσπερ καλλίνικοι, Κυπριανέ, Μνάσων, Ταμασσέων σεπτὲ ποιμήν, τῆς Ἀπαμείας Μάρκελλε, Κυρηνείας καύχημα ἱερόν, Θεόδοτε, Ἀρτέμων, Ἑρμόγενες, Ῥηγῖνε, καὶ θαυμαστὲ Θεράπον, ἔνδοξε.

Μεγίστων ἀξιώσατε δωρεῶν, φιλοχρίστων Κυπρίων τὸν σύλλογον, θεοφεγγεῖς, ἅγιοι, Βαρνάβα περικλυτέ, αὐτοκεφάλου πρόξενε, νήσου Ἐκκλησίας τῆς γεραρᾶς, χορεῖαι ἀποστόλων, ἱεραρχῶν, μαρτύρων καὶ ἀσκητῶν, τῆς νήσου ἔφοροι.

Θεοτοκίον

Παρθένε Θεοτόκε, πιστῶν χαρά, καταφύγιον καὶ παραμύθιον, ἡμῶν λιτάς, πρόσδεξαι θυμίαμα ὡς τερπνόν, καὶ ὥσπερ εὐαπόδεκτον, δῶρον, θεοδόξαστε Μαριάμ, καὶ πέμψον οὐρανόθεν, τοῖς μεγαλύνουσί σε, ἄμφω ὑγίειαν καὶ δύναμιν.

Καταβασία

Ἅπας γηγενής, σκιρτάτω τῷ πνεύματι, λαμπαδουχούμενος· πανηγυριζέτω δέ, ἀΰλων Νόων φύσις γεραίρουσα, τὰ ἱερὰ θαυμάσια, τῆς Θεομήτορος, καὶ βοάτω· Χαίροις παμμακάριστε, Θεοτόκε ἁγνὴ ἀειπάρθενε.

Συναπτὴ μικρά, τό, Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν, ἐκ γ΄, Ὑψοῦτε Κύριον.

Ἐξαποστειλάρια

Τὸ Ἀναστάσιμον καὶ τῶν Ἁγίων

Ἦχος β΄ Τοῖς Μαθηταῖς συνέλθωμεν.

Χαρμονικῶς ὑμνήσωμεν, τῶν Κυπρίων οἱ δῆμοι, τοὺς ἐν τῇ νήσῳ λάμψαντας, τῇ ἡμῶν ἐναρέτως, καὶ δοξασθέντας θεόθεν, θαύμασι καὶ σημείοις, γνωστοὺς καὶ ἀνωνύμους τε, πρὸς αὐτοὺς ἐκβοῶντες θεοπρεπῶς· οἱ τῆς Κύπρου χαίρετε λαμπαδοῦχοι, καὶ πρεσβευταὶ πρὸς Κύριον, καὶ ἀμάραντα ἄνθη.

Θεοτοκίον

Σωματωθεὶς Πανάμωμε, ἐξ ἁγνῶν σου αἱμάτων, ὁ Ποιητὴς τῆς κτίσεως, καὶ Θεὸς τῶν ἁπάντων, συνανεστράφη ἀνθρώποις, καὶ ὁδοὺς ἀφθαρσίας, σαφῶς ἡμῖν ὑπέδειξεν, ἃς ὁδεύσαντες μάρτυρες εὐκλεεῖς, καὶ ὁσίων δῆμοι καὶ ἱερέων, τῆς παρ' Αὐτῷ ἠξίωνται, εὐκληρίας καὶ δόξης.

www.tezaurliturgic.ro



Εἰς τοὺς Αἴνους

Ἱστῶμεν Στίχους η΄, καὶ ψάλλομεν Στιχηρὰ Ἀναστάσιμα δ΄, καὶ τῶν Ἁγίων Προσόμοια δ΄

Ἦχος πλ. δ΄ Τί ὑμᾶς καλέσωμεν, Ἅγιοι.

Τί ὑμᾶς καλέσωμεν Ἅγιοι; τοῦ Σωτῆρος κοινωνούς, καὶ τῶν ψυχῶν χειραγωγούς, εὐσεβείας θησαυρούς, καὶ ὑποφήτας ἀληθεῖς· τῆς Κύπρου ἀρωγοὺς καὶ ἀντιλήπτορας, καὶ πάσης Ἐκκλησίας ἀγλαΐσματα· Χριστὸς ὑμᾶς γὰρ ἐδόξασεν, ὥσπερ οἰκείους θεράποντας· πρεσβεύσατε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὕμνοις ἱεροῖς εὐφημήσωμεν, Βαρνάβαν τὸν θεοειδῆ, καὶ Λάζαρον τὸν εὐκλεῆ, Σπυρίδωνα τὸν θαυμαστόν, καὶ Ἐπιφάνιον ὁμοῦ τὸν μέγαν, Ἰωάννην ἐλεήμονα, τὸν ὅσιον Νεόφυτον τὸν ἔγκλειστον, σὺν Παναρέτῳ Αὐξίβιον, καὶ Τύχωνα καὶ Θεράποντα· πρεσβεύουσι, τῷ Χριστῷ γὰρ ὑπὲρ πάντων ἡμῶν.

Μάρκελλος ὁμοῦ καὶ Μακάριος, σὺν Μελετίῳ τῷ σοφῷ, καὶ Θεοδότῳ ἱερῷ, Μνάσων καὶ Μύρων οἱ σοφοί, σὺν Ἀρκαδίοις τοῖς δυσίν, Ἰσαάκιος, ὁ ὅσιος ἐπίσκοπος, Πολύδωρος, ὁ νέος ἐν τοῖς Μάρτυσι, καὶ Ἡρακλείδης σὺν Νέστορι, καὶ τοῖς λοιποῖς ἀνυμνείσθωσαν· πρεσβεύουσι, τῷ Χριστῷ γὰρ ὑπὲρ πάντων ἡμῶν.

Κύπρος ἡ περίφημος τέρπεται, ἑορτάζουσα ὑμῶν, τὴν σεβασμίαν ἑορτήν, καὶ σεμνύνεται φαιδρῶς, ταῖς ἀριστείαις ταῖς ὑμῶν, ἀπόστολοι, καὶ μάρτυρες καὶ ὅσιοι, καὶ θεῖοι ἱεράρχαι καὶ ἀνώνυμοι· ἣν περιέπετε πάντοτε, θερμαῖς ὑμῶν ἀντιλήψεσιν, ὡς ἔχοντες παρρησίαν πρὸς τὸν Κύριον.

Δόξα... Ἦχος πλ. δ΄

Τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ, ἡ ἐν νήσοις ἔνδοξος Κύπρος, χορὸν Ἁγίων περίπυστον, εὐσεβῶς ἀναδείκνυσιν· ἀποστόλους γὰρ καὶ μάρτυρας, ἱεράρχας καὶ ὁσίους, περιφανῶς πλουτοῦσα, ἐν μιᾷ τούτους ἡμέρᾳ, μακαρίζει κράζουσα· Μακάριοί ἐστε, οἱ ἐν ὁσιότητι καὶ δικαιοσύνῃ καὶ ἄθλοις εὐσεβείας, τὸν Θεὸν δοξάσαντες· καὶ νῦν τῆς ἄνω δόξης τρυφῶντες, τῶν ἐπηγγελμένων ἀγαθῶν, κληρονόμοι γεγόνατε, αἰτούμενοι πᾶσι τὸ μέγα ἔλεος.

Καὶ νῦν... Θεοτοκίον

Ὑπερευλογημένη ὑπάρχεις, Θεοτόκε Παρθένε· διὰ γὰρ τοῦ ἐκ σοῦ σαρκωθέντος, ὁ ᾅδης ᾐχμαλώτισται, ὁ Ἀδὰμ ἀνακέκληται, ἡ κατάρα νενέκρωται, ἡ Εὔα ἠλευθέρωται, ὁ θάνατος τεθανάτωται, καὶ ἡμεῖς ἐζωοποιήθημεν. Διὸ ἀνυμνοῦντες βοῶμεν· Εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ οὕτως εὐδοκήσας, δόξα σοι.

Δοξολογία Μεγάλη, καὶ Ἀπόλυσις

## ΕΝ ΤΗι ΛΕΙΤΟΥΡΓΙΑι

Τὰ Τυπικά, οἱ Μακαρισμοί, ἐκ τοῦ Ἀναστασίμου Κανόνος ἡ δ΄ ᾠδὴ καὶ τῶν Ἁγίων ἡ γ΄ ᾠδὴ τοῦ α΄ καὶ ἡ ς΄ τοῦ β΄.

Ὁ Ἀπόστολος

Προκείμενον, Ἦχος πλ δ΄ (Ψαλμ. ξζ΄)

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Στίχ. Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, Κύριον ἐκ πηγῶν Ἰσραήλ.

**Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα**

(Κεφ. ια΄ 33-40, ιβ΄ 1-2)

(Ζήτει τῇ Κυριακῇ τῶν Ἁγίων Πάντων)

Ἀδελφοί, οἱ ἅγιοι πάντες διὰ πίστεως κατηγωνίσαντο βασιλείας, εἰργάσαντο δικαιοσύνην, ἐπέτυχον ἐπαγγελιῶν, ἔφραξαν στόματα λεόντων, ἔσβεσαν δύναμιν πυρός, ἔφυγον στόματα μαχαίρας, ἐνεδυναμώθησαν ἀπὸ ἀσθενείας, ἐγενήθησαν ἰσχυροὶ ἐν πολέμῳ, παρεμβολὰς ἔκλιναν ἀλλοτρίων· ἔλαβον γυναῖκες ἐξ ἀναστάσεως τοὺς νεκροὺς αὐτῶν· ἄλλοι δὲ ἐτυμπανίσθησαν, οὐ προσδεξάμενοι τὴν ἀπολύτρωσιν, ἵνα κρείττονος ἀναστάσεως τύχωσιν· ἕτεροι δὲ ἐμπαιγμῶν καὶ μαστίγων πεῖραν ἔλαβον, ἔτι δὲ δεσμῶν καὶ φυλακῆς· ἐλιθάσθησαν, ἐπρίσθησαν, ἐπειράσθησαν, ἐν φόνῳ μαχαίρας ἀπέθανον, περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος, ἐν ἐρημίαις πλανώμενοι καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς. Καὶ οὗτοι πάντες μαρτυρηθέντες διὰ τῆς πίστεως οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν, τοῦ Θεοῦ περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσι.

www.tezaurliturgic.ro



Τοιγαροῦν καὶ ἡμεῖς, τοσοῦτον ἔχοντες περικείμενον ἡμῖν νέφος μαρτύρων, ὄγκον ἀποθέμενοι πάντα καὶ τὴν εὐπερίστατον ἁμαρτίαν, δι᾽ ὑπομονῆς τρέχωμεν τὸν προκείμενον ἡμῖν ἀγῶνα, ἀφορῶντες εἰς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ τελειωτὴν ᾽Ιησοῦν.

Ἀλληλούϊα (γ΄), Ἦχος δ΄ (Ψαλμ. λγ΄)

Στίχ. Ἐκέκραξαν οἱ δίκαιοι, καὶ ὁ Κύριος εἰσήκουσεν αὐτῶν.

Πολλαὶ αἱ θλίψεις τῶν δικαίων καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτοὺς ὁ Κύριος.

Τὸ Εὐαγγέλιον τῆς Κυριακῆς

Κοινωνικὸν

Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν.

Ἀλληλούϊα.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.

Ἀλληλούϊα.

Μεγαλυνάριον

Τοὺς ἐν Κύπρῳ λάμψαντας εὐσεβῶς, μάρτυρας, ὁσίους, ἀποστόλους τοὺς εὐκλεεῖς, καὶ σὺν ἱεράρχαις, χορὸν τῶν ἀνωνύμων, Κυπρίων αἱ χορεῖαι, ὕμνοις τιμήσωμεν.

Δίστιχον

Γεράσιμος ὕφαινε τούς δε τούς ὕμνους,
Τοῖς ἐν Κύπρῳ λάμψασι φίλοις Κυρίου.